εἴτις παρεὶς μὲν αἰτίας νοσημάτων ἀρθρ. στιχ. μα. 874
συμπτώματ' αἴρειν φαρμάκοις πειρῷθ' ὅλως,
σκιαμαχεῖν δόξειεν ἂν σαφῶς ὅδε,
πάμπολλα δήπου φάρμακ' ἀντλῶν εἰς μάτην,
φέρων τάδ' ἀθρῶς, ἀλλ' ὀνήσεως ἄτερ·
σύμπτωμ' ἅπαν γὰρ αἰτιατὸν αἰτίας κθ. 612
νόσου πέφυκεν, οὐδαμῶς τόδ' αἰτία,
ἣν ῥᾷστ' ἀνεῖλε κὠλίγοις ἄν τις μόνην, λθ. 832
ἥπερ σκιὰν ἄψαυστον ἀσταθῆ πάνυ,
συμπτωμάτων τ' ἄφυκτον ὄχλον ἀθρόον,
ὃ δείκνυται δὴ κἀξ ὁμοίων ὧδέ πως.

ΜΔ. Ὡς ἐν φυτοῖς ἔβλαστεν ἐκ ῥίζης κλάδος,
καὶ δὴ τέθηλεν ἔστ' ἂν ἡ ῥίζ' ἐμμένῃ,
ὧδ' ἐν νόσοις σύμπτωμα δεινὸν ἐξέφυ,
οὐδ' ἐκλέλοιπεν ἐμμενούσης αἰτίας.
ὧν ἐστὶ δ' ὡυτὸς τῆς ὑπάρξεως τρόπος,
ὅμοια δήπου ταῦτα κἠδελφισμένα.
ὃ ῥίζα τοίνυν ἐν φυτοῖσι καὶ κλάδος,
τοῦτ' ἐν νόσοισιν αἰτία σύμπτωμά τε.
σύμπτωμ' ἄρ' ἐστὶν αἰτιατὸν αἰτίας,
ὥσπερ κλάδος βλάστημα τῆς ῥίζης ὅλος.
ἣν οὖν φυτὸν πρόρριζον ἐκτεμεῖν θέλῃς,
ῥᾷον τάμοις θᾶσσον τε ῥίζαν, ἢ κλάδους·
πλείους γὰρ οὗτοι, ῥίζα δ' ἔμπαλιν μία,
ἥ γ' ἐμμένουσα ῥᾷον ἐκφύει κλάδους,
τμηθεῖσα δ' οὐ τέθηλεν αὖθις οὐδέ πω.

κἂν